UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

Universitätsbibliothek Wuppertal

# Plutarchu Chairōneōs Ta Sōzomena Panta

Continens Moralia

**Plutarchus**

**Francofurti, 1620**

De primo frigido

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1372

Visual Library

&anima à mente effingitur, formatque corpus & vndiquaque amplectitur, & ab eo formam ipsius sibi imprimit: vt etiam diu ab vtroque separata, similitudinem tamen eius effigiemque retineat, & imago rectè dicatur. Horum autem, sicut diximus, elementum est Luna, in quam animæ resoluuntur, sicut cadauera in terram. celeriter quidem castæ quæ ocium & philosophicam fuerunt amplexæ vitam. quæ dimissæ à mente, & motibus ad nihil porro vtentes euanescunt. at verò animæ ambitiosorum, rebus gerendis. & amori corporum deditorum, itemque iracundorum alię vel vti in somno recordatione rerum in vita gestarum reminiscentia tanquam somniis vtuntur, vt Endymionis anima. postquam autem eas inconstantia & mobilitas exturbat, trahitque à Luna ad alium ortum, non finit * sed reuocat & demulcet. Exiguum enim aut placidum aut constans nullum est opus, quando absque mente vis quę variis exagitatur motib⁹, corpus arripit. Tityi quidem, Typhones, & is Typho qui Delphis occupatis oraculum vi & libidine sua conturbauit, è numero istarum erant animarum, mentis expertes, ac tantùm vagis incitati cupiditatibus. Aliquanto post tempore eas quoque animas in se recepit Luna, atque composuit. Deinde mentem rursus adseminante Sole, vitali eam vi excipiens, nouas facit animas: tertio loco terra corpus suppeditat. nihil enim hæc post mortem dat, quæ ad generationem accipit. Sol autem accipit quidem nihil: recipit autem mentem quam dat. Luna & accipit, & dat, & componit, & diuidit, alia atque alia facultate: Lucina, cùm componit: Diana, cùm diuidit dicta. Et de tribus Parcis Atropos circa Solem collocata, initium ortus præbet: Clotho circa Lunam vecta colligat & miscet: vltima Lachesis terram contingit, eique plurimum fortunæ est admixtũ. Quod enim animæ est expers, id sui iuris nõ est, sed alteri se afficiendum præbet: mens imperium obtinet, neq; aliunde afficitur: mixtum est quippiã & medium anima. sicut Luna etiam ex superis & inferis mixta à Deo est, hanc ad Solem habens rationem, quam terra ad Lunam. Hæc, aiebat Sylla, ego audiui narrante hospite. ei autem exposuerunt Saturni famuli atque cubicularii, vt quidem ipse referebat. Vos, Lampria, vestro arbitratu sermonem hunc inquam lubebit partem accipietis.

ἥ τε ψυχὴ τυπουμένη μὲν ὑπὸ τοῦ νοῦ, τυποῦσα δὲ τὸ σῶμα καὶ περιπτύσσουσα πανταχόθεν ἐκμάττεται τὸ εἶδος· ὥστε κἂν πολὺν χρόνον χωρὶς ἑκατέρου γένηται, διατηροῦσα τὴν ὁμοιότητα καὶ τὸν τύπον, εἴδωλον ὀρθῶς ὀνομάζεται. τούτων δὲ ἡ σελήνη, καθάπερ εἴρηται, στοιχεῖόν ἐστιν. ἀναλύονται γὰρ εἰς ταύτην ὥσπερ εἰς τὴν γῆν, τὰ σώματα τῶν νεκρῶν. ταχὺ μὲν αἱ σώφρονες μετὰ σχολῆς ἀπράγμονα καὶ φιλόσοφον στέρξασαι βίον. ἀφεθεῖσαι γὰρ ὑπὸ τοῦ νοῦ, καὶ πρὸς οὐθὲν ἔτι χρώμεναι τοῖς πάθεσιν ἀπομαραίνονται. τῶν δὲ φιλοτίμων καὶ πρακτικῶν, ἐρωτικῶν τε περὶ σώματα, καὶ θυμοειδῶν, αἱ μὲν οἷον ἐν ὕπνῳ ταῖς τοῦ βίου μνημοσύναις ὀνείρασι χρώμεναι διαφέρονται, καθάπερ ἡ τοῦ Ἐνδυμίωνος· ἐπεὶ δ᾽ αὐτὰς τὸ ἄστατον καὶ τὸ ἀπαθὲς ἐξίστησι, καὶ ἀφέλκει τῆς σελήνης πρὸς ἄλλην γένεσιν οὐκ ἐᾷ ἀλλ᾽ ἀνακαλεῖται καὶ καταθέλγει. μικρὸν γὰρ οὐδὲν οὐδ᾽ ἥσυχον, οὐδ᾽ ὁμολογούμενον ἔργον ἐστὶν, ὅταν ἄνευ νοῦ τοῦ παθητικοῦ σώματος ἐπιλάβωνται. Τιτυοὶ δὲ καὶ Τυφῶνες, ὅ, τε Δελφοὺς καταλαβὼν καὶ συνταράξας τὸ χρηστήριον ὕβρει καὶ βίᾳ Τυφῶν, ἐξ ἐκείνων ἄρα τῶν ψυχῶν ἦσαν, ἔρημοι λόγῳ, ἢ τύφῳ πλανηθέντι τοῦ παθητικοῦ χρησάμενοι. χρόνῳ δὲ κἀκείνας δεξαμένη εἰς αὑτὴν ἡ σελήνη κατεκόσμησεν, εἶτα τὸν νοῦν αὖθις ἐπισπείραντος τοῦ ἡλίου τῷ ζωτικῷ δεχομένη, νέας ποιεῖ ψυχάς. ἡ δὲ γῆ τρίτον σῶμα παρέσχεν. οὐδὲν γὰρ αὕτη δίδωσι μετὰ θάνατον ὅσα λαμβάνει πρὸς γένεσιν. ἥλιος δὲ λαμβάνει μὲν οὐδὲν, ἀπολαμβάνει δὲ τὸν νοῦν διδούς· σελήνη δὲ καὶ λαμβάνει καὶ δίδωσι καὶ συντίθησι, καὶ διαιρεῖ κατ᾽ ἄλλην καὶ ἄλλην δύναμιν, ὧν Εἰλείθυια μὲν ἡ συντίθησιν· Ἄρτεμις δὲ, ἡ διαιρεῖ, καλεῖται. καὶ τριῶν μοιρῶν, ἡ μὲν Ἄτροπος περὶ τὸν ἥλιον ἱδρυμένη, τὴν ἀρχὴν ἐνδίδωσι τῆς γενέσεως· ἡ δὲ Κλωθὼ, περὶ τὴν σελήνην φερομένη, συνδεῖ καὶ μίγνυσιν. ἐσχάτη δὲ συνεφάπτεται περὶ γῆν ἡ Λάχεσις, ᾗ πλεῖστον τύχης μέτεστι. τὸ γὰρ ἄψυχον, ἄκυρον αὐτὸ καὶ παθητὸν ὑπ᾽ ἄλλων. ὁ δὲ νοῦς, ἀπαθὴς καὶ αὐτοκράτωρ. μικτὸν δὲ καὶ μέσον ἡ ψυχὴ, καθάπερ ἡ σελήνη ἄνω καὶ κάτω σύμμιγμα καὶ μέγα κέρας ὑπὸ τοῦ θεοῦ γέγονε, τοῦτον ἄρα πρὸς ἥλιον ἔχουσα τὸν λόγον ὃν ἡ γῆ ἔχει πρὸς σελήνην. Ταῦτ᾽ (εἶπεν ὁ Σύλλας) ἐγὼ μὲν ἤκουσα τοῦ ξένου διεξιόντος· ἐκείνῳ δ᾽ οἱ τοῦ Κρόνου κατευνασταὶ καὶ θεράποντες (ὡς ἔλεγεν αὐτὸς) ἐξήγγειλαν. ὑμῖν δ᾽ ὦ Λαμπρία χρῆσθαι τῷ λόγῳ πάρεστιν ᾗ βούλεσθε.

# PLVTARCHI,

## De primo frigido, libellus.

EST ne aliqua frigidi vis, Phauorine, princeps atque natura, sicut calidi ignis, cuius præsentia quadam & participatione reliquorum vnumquodq; fiat frigidum? aut potius frigiditas caloris priuatio est, vt tenebras lucis dicunt, & motus quietem? etenim frigiditas statui seu quieti videtur accommodata, sicut contrà calor mouendi facultatem habere:

# ΠΛΟΥΤΑΡΧΟΥ,

## περὶ τοῦ πρώτου ψυχροῦ.

ΕΣΤΙ τις ἄρα τοῦ ψυχροῦ δύναμις, ὦ Φαβωρῖνε, πρώτη καὶ οὐσία, καθάπερ τοῦ θερμοῦ τὸ πῦρ, ἧς παρουσίᾳ τινὶ καὶ μετοχῇ γίνεται τῶν ἄλλων ἕκαστον ψυχρόν; ἢ μᾶλλον ἡ ψυχρότης στέρησίς ἐστι θερμότητος, ὥσπερ τοῦ φωτὸς τὸ σκότος λέγουσι, καὶ τῆς κινήσεως τὴν στάσιν; ἐπεὶ καὶ τὸ ψυχρὸν ἔοικε στάσιμον εἶναι, κινητικὸν δὲ τὸ θερμόν.

Ii autem, qui aerem & aquam frigida ſe cognouiſſe aiunt, terram negant: reſpiciunt ad proximam terram, aere, ſpiritibus, aqua, & calore plenam mixturam atque congeriem. Nihil verò differunt ab iis, qui non ætherem primo & natura calidum, ſed aquam feruentem aut candens ferrum pronunciant: quòd hæc tangunt & contrectant, primum purum cœleſtemque ignem non ſentiunt: vt hi quoque terram in imo latentem non vident, quæ maxime terra intelligenda eſt, ab omnibus aliis ſecreta. Cuius tamen indicium etiam hæc ſunt ſaxa, quæ è profundo magnum & toleratu difficile frigus emittunt. Qui autem potum frigidiorem facere volunt, ij ſilices in aquam iniiciunt. fit enim ſpiſſior, & vis eius intenditur frigore quod à lapidibus recens & ſincerum in eam emittitur. Veteres ergo ſapientes ac doctos cenſendum eſt ſtatuiſſe cœleſtia terreſtribus non permiſceri: non quòd velut in trutina ad inferiora loco & ſuperiora reſpexerint, ſed ad facultatum differentiam. quippe calida, ſplendida, velocia, leuia, immortali ac ſempiternæ naturæ adſcripſerunt: tenebroſa, frigida, tarda, mortalium & inferorum ſortem parum beatam arbitrantes. Quando corpus etiam animalis dum ſpirat, & ( vt poeta ait) viret, tantiſper etiam calore vitaque fruitur: his priuatum, & iam ſolis terreſtribus reſtantibus partibus, ſtatim frigore & gelu corripitur. ſcilicet quod in quauis potius quàm terrena re ſecundum naturam calor inſit. Hæc tu, Phauorine, cum iis compone, quæ ab aliis ſunt dicta. quæ ſi non multum vincant vincanturque probabilitate, valere iube opiniones, & exiſtima, Philoſophi magis eſſe in rebus dubiis aſſenſionem cohibere, quàm aliquid tanquam certum probare.

A πνεύματος μὲν αἰσθάνεσθαι ψυχροῦ καὶ ὕδατος, γῆς δ' ἧττον οἰόμενοι, τὴν ἔγγιστα γῆν ὁρῶσιν ἀέρων καὶ ὑδάτων καὶ ἡλίου καὶ θερμότητος ἀνάπλεων σύμμιγμα καὶ συμφόρημα γεγενημένην. καὶ οὐδὲν διαφέρουσι τῶν μὴ τὸν αἰθέρα φύσει καὶ πρώτως θερμόν, ἀλλὰ τὸ ζέον ὕδωρ ἢ τὸν διάπυρον σίδηρον ἀποφαινομένων· ὅτι τούτων μὲν ἅπτονται καὶ προστυγχάνουσι, τοῦ δὲ πρώτου καθαροῦ καὶ οὐρανίου πυρὸς αἴσθησιν δι' ἀφῆς οὐ λαμβάνουσιν, ὥσπερ οὐδὲ οὗτοι τὴν ἐν βάθει γῆς, ἣν μάλιστα γῆν ἄν τις νοήσειεν αὐτὴν καθ' αὑτὴν ἀποκεκριμένην τῶν ἄλλων. δεῖγμα δ' αὐτῆς ἐστι κἂν ταῦτα

B περὶ τὰς πέτρας. πολὺ γὰρ ἐκ βάθους καὶ οὐ ῥᾴδιον ἀνασχέσθαι προσβάλλουσι κρύος. οἱ δὲ ψυχροτέρου ποτοῦ δεόμενοι, χάλικας ἐμβάλλουσιν εἰς τὸ ὕδωρ. γίνεται γὰρ οὐλότερον, καὶ στομοῦται παρὰ τὴν ἀπὸ τῶν λίθων ψυχρότητα, πρόσφατον καὶ ἄκρατον ἀναφερομένην. τοὺς οὖν πάλαι σοφοὺς καὶ λογίους ἀμίκτα θέσθαι τὰ ἐπίγεια καὶ τὰ οὐράνια χρὴ νομίζειν, οὐ τοῖς τόποις, ὥσπερ ἐπὶ ζυγοῦ, πρὸς τὰ κάτω καὶ ἄνω βλέποντας, ἀλλὰ τῇ διαφορᾷ τῶν δυνάμεων, τὰ μὲν θερμὰ καὶ λαμπρὰ, ταχέα καὶ κοῦφα, τῇ ἀθανάτῳ καὶ ἀιδίῳ φύσει προσνέμοντας, τὰ δὲ σκοτεινὰ καὶ ψυχρὰ καὶ

C βραδέα, φθιτῶν καὶ ἐνέρων οὐκ εὐδαίμονα κλῆρον ἀποφήναντας. ἐπεὶ καὶ τὸ σῶμα τοῦ ζώου μέχρι μὲν ἔμπνουν ἐστὶ καὶ θαλερόν, (ὡς οἱ ποιηταὶ λέγουσι) θερμότητι χρῆται καὶ ζωῇ· γενόμενον δὲ τούτων ἔρημον, καὶ ἀπολειφθὲν ἐν μόνῃ τῇ τῆς γῆς μοίρᾳ, ψυχρότης εὐθὺς ἴσχει καὶ κρύος, ὡς ἐν παντὶ μᾶλλον ἢ τῷ γεώδει κατὰ φύσιν θερμότητος ἐνυπαρχούσης. Ταῦτα ὦ Φαβωρῖνε τοῖς εἰρημένοις ὑφ' ἑτέρων παράβαλλε· κἂν μήτε λείπηται τῇ πιθανότητι, μήτε ὑπερέχῃ πολύ, χαίρειν ἔα τὰς δόξας, τὸ ἐπέχειν ἐν τοῖς ἀδήλοις τοῦ συγκατατίθεσθαι φιλοσοφώτερον ἡγούμενος.

D

## PLVTARCHI, Aquáne, an ignis ſit vtilior.

PINDARVS pronunciauit, aquam eſſe rerum optimam, aurum autem flagrantem ignem. is ergo palam poſteriorem locum igni aſſignauit. Adſtipulatur huic Heſiodus, ita ſcribens: *Principio factum Chaos eſt.* nam voce Chaos plerique eum exiſtimant expreſſiſſe aquam ob diffuſſionem, quæ eſt Græcis chyſis. Cæterum teſtium in vtranq; partem æqualia ſunt momenta. Sunt enim qui ignem vniuerſi principiũ eſſe pronunciant, eumq; tanquã ſemẽ & gignere ex ſeſe omnia, & in ſe facta conflagratione recepturũ. Omiſſis itaque autoribus, rationes ipſas conſideremus in vtram nos partem inclinent. Nonne autem id vtilius eſt, quo ſemper continenterq; indigemus, & quidem plurimo? quomodo ſupellex, aut inſtrumentum, atque adeo amicus aliis præfertur, qui nobis quauis hora & ad quaſuis occaſiones vtendi præſto eſt. Atque ignis non ſemper vtilis eſt: & aliquando eum moleſte ferimus atque amolimur. Aquæ & hyeme & æſtate, tam ſanis quàm ægrotis, noctu

## ΠΛΟΥΤΑΡΧΟΥ, ΠΕΡΙ τοῦ πότερον ὕδωρ ἢ πῦρ χρησιμώτερον.

Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς, αἰθόμενον πῦρ, φησὶν ὁ Πίνδαρος· ὥστε σαφῶς μὲν δευτέραν ἄντικρυς τῷ πυρὶ χώραν

E ἔδωκε· συμφωνεῖ δὲ καὶ Ἡσίοδος, εἰπών, Ἤτοι μὲν πρώτιστα χάος γένετο. τοῖς πλείστοις γὰρ ὠνομακέναι δοκεῖ τὸ ὕδωρ τοῦτον τὸν τρόπον παρὰ τὴν χύσιν· ἀλλὰ τὸ μὲν τῶν μαρτύρων ἑκατέρωθεν ἴσον. ἐπεὶ καὶ τὸ πῦρ εἰσὶν οἱ τοῦ παντὸς ἀρχὴν ἀποφαινόμενοι, καὶ οἷον σπέρμα τοῦτο ἐξ ἑαυτοῦ τε πάντα ποιεῖν καὶ εἰς ἑαυτὸ ἐκλαμβάνειν κατὰ τὴν ἐκπύρωσιν· ἀφέμενοι δὲ τῶν ἀνδρῶν, σκεψώμεθα τοὺς εἰς ἑκάτερον λόγους πῇ μᾶλλον ἄγουσιν ἡμᾶς. ἆρ' οὖν οὐ χρησιμώτερον ἐκεῖνο οὗ πάντοτε καὶ διηνεκῶς δεόμεθα καὶ πλείστου, καθάπερ ἐργαλεῖον καὶ ὄργανον, καὶ

F νὴ Δία φίλος ὁ πάσης ὥρας καὶ παντὸς καιροῦ παρὼν ἕτοιμος; καὶ μὴν τὸ μὲν πῦρ οὐ πάντοτε χρήσιμον, ἔστι δὲ ὅτε καὶ βαρυνόμεθα καὶ ἀποσπώμεθα· τοῦ δ' ὕδατος χρεία καὶ χειμῶνος καὶ θέρους, καὶ νοσοῦσι καὶ ὑγιαίνουσι, νυκτὸς καὶ μεθ'